www.tezaurliturgic.ro

*Οἱ ἀκολουθίες τοῦ παρόντος βιβλιαρίου ἐκδίδονται μὲ τὴν ἄδεια τῆς Ὑμνογράφου, Ὁσιοτάτης Καθηγουμένης Ἱ.Μ.Κοιμήσεως Θεοτόκου Κυπαρισσιωτίσσης καὶ Ἁγ.Ἱεροθέου Μεγάρων Ἰσιδώρας Μοναχῆς.*

**Εἰκὼν ἐξωφύλλου:** *Ἡ ἐφέστιος κτητορικὴ εἰκὼν τῆς Ἱ.Μ.Ἀρχαγγέλου Μιχαὴλ Μοναγρίου, 1632.*

www.tezaurliturgic.ro



# ΕΝΘΥΜΙΟΝ ΕΝΘΡΟΝΙΣΕΩΣ
# ΚΑΘΗΓΟΥΜΕΝΟΥ ΙΕΡΑΣ ΜΟΝΗΣ
# ΑΡΧΑΓΓΕΛΟΥ ΜΙΧΑΗΛ
# ΜΟΝΑΓΡΙΟΥ
# ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΓΕΝΝΑΔΙΟΥ
# 17 ΣΕΠΤΕΜΒΡΙΟΥ 2009

www.tezaurliturgic.ro



Κοντάκιον τῆς Ἱ. Μ. Ἀρχαγγέλου Μιχαὴλ Μοναγρίου.
Ἦχος δ'. Ὁ ὑψωθείς.

**Τῇ φοβερᾷ τῶν πρεσβειῶν σου ῥομφαίᾳ, σκέπε μονὴν τὴν ἱερὰν Μοναγρίου, καὶ νῆσον Κύπρον φύλαττε ὦ Ἄρχων Μιχαήλ· πᾶσι δὲ μετάνοιαν, ταῖς εὐχαῖς σου χορήγει, ἵνα ταῖς χερσὶ Χριστοῦ, τὰς ψυχὰς παραδῶμεν, καὶ αἰωνίου τύχωμεν ζωῆς, σὺν τοῖς ἁγίων, χοροῖς ἀρχιστράτηγε.**

www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

Εἰς τὸν Μέγαν Ταξιάρχην Μιχαήλ, τὸν Ἀρχιστράτηγον τῶν ἀσωμάτων ἐπουρανίων Δυνάμεων.

Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

## Ἀπολυτίκιον.
## Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Τῶν νοερῶν στρατιῶν ὁ Ταξιάρχης, ἀγγελικῶν τε χορῶν ὁ πρωτοστάτης, ἀσωμάτων ταγμάτων τῶν ἐπουρανίων· ὁ μέγας καὶ ἐν δυνάμεσι θαυμαστός, συμφώνως ἀνευφημείσθω ὁ Μιχαήλ· ὃν κεκτήμεθα φύλακα, καὶ ὁδηγὸν οἱ ἐν γῇ, πρὸς ὃν πιστῶς βοήσωμεν· χαίροις θεῖε Ἀρχάγγελε.

www.tezaurliturgic.ro

## Κοντάκιον.
## Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῷ τῆς Τριάδος Μιχαὴλ φωτὶ ἱστάμενος, καὶ τὰς δυνάμεις τοῦ ἐχθροῦ τοῦ κοσμοκράτορος, τῇ λαμπρότητι τῆς δόξης σου φυγαδεύων. Τοὺς προστρέχοντας τῇ σκέπῃ τῶν πτερύγων, διαφύλαττε καὶ φρούρει τῇ δυνάμει σου· ἵνα κράζωμεν· χαίροις θεῖε Ἀρχάγγελε.

Ἄρχων τῶν στρατευμάτων, Μιχαὴλ ὡς ὑπάρχων, τῶν θείων καὶ σεπτῶν καὶ ἀΰλων (ἐκ γ΄)* καὶ τοῦ Θεοῦ τῷ θρόνῳ παριστάμενος, φωτὸς τοῦ τρισηλίου ἐν κοινωνίᾳ, ἡμῶν τὸν ὕμνον εὐμενῶς προσδέχου, οὕτω βοώντων·

Χαίροις Κυρίου ὁ παραστάτης· χαίροις ὁ ἄϋλος στρατηλάτης.

Χαίροις τῶν Ἀγγέλων ὁ ἔνδοξος πρώταρχος· χαίροις τῶν ἀνθρώπων ὁ κράτιστος πρόμαχος.

*Ἅγιε Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

www.tezaurliturgic.ro

Χαίροις ὅτι ἐκφαίνεις ἱλαρὰν φωτοχυσίαν· χαίροις ὅτι πυρσεύεις πάμφωτον λαμπαδουχίαν.

Χαίροις στολὴ τῆς ἄνω φαιδρότητος· χαίροις πυγμὴ τῆς θείας στεῤῥότητος.

Χαίροις θεῖε Ἀρχιστράτηγε ὁ κοσμῶν τοὺς οὐρανούς· χαίροις μέγιστε Ἀρχάγγελε ὁ φυλάττων τοὺς βροτούς.

Χαίροις ἡ δόξα ἀΰλων ταγμάτων· χαίροις ἀρχὴ θεϊκῶν στρατευμάτων.

Χαίροις θεῖε Ἀρχάγγελε.

Βέβαιόν σου τὸ σθένος καὶ τὸ κράτος σου μέγα ὑπάρχει Μιχαὴλ πρωτοστάτα· ἡ δὲ ἰσχύς σου ἐν παντὶ ἀνίκητος καὶ φοβερά σου ἡ θέα τοῖς ἐναντίοις, τὸ δὲ κάλλος τῆς μορφῆς σου ὡραῖον λίαν, δι' οὗ εὐφραίνεις τοὺς ψάλλοντας ᾠδὴν τὴν ἐπουράνιον·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro

Γνόφον τῆς ἀγνωσίας τὸν βαθὺν διαλύεις, φωτί σου Μιχαὴλ τῷ ἀΰλῳ· τοῦ σκότους δὲ σκεδάζεις τὰ φρυάγματα, καὶ ἀσφαλῶς εὐθύνεις διαβήματα, τῶν ἐκτενῶς σοι βοώντων ἐν εὐθυμίᾳ·

Χαίροις ὁ πρώτιστος ἀσωμάτων· χαίροις ὑπέρτερος τῶν κτισμάτων.

Χαίροις διαθήκης τῆς θείας διάκονε· χαίροις οὐρανίων θαλάμων διάκοσμε.

Χαίροις ὅτι ἐτραυμάτισας τῶν δαιμόνων τὰς σειράς· χαίροις ὅτι ἐστερέωσας τῶν πιστῶν τὰς πατριάς.

Χαίροις τῆς αἴγλης τῆς ἄνω μετέχων· χαίροις ἀΰλων πνευμάτων προέχων.

Χαίροις θύρας παραδείσου τῇ ῥομφαίᾳ σου φυλάττων· χαίροις θράσος τῶν δαιμόνων καὶ τῶν δυσμενῶν ὁ φράττων.

Χαίροις ὁ αἶνος ἀπαύστου λατρείας· χαίροις ὁ δόξαν ποιῶν λειτουργίας.

Χαίροις θεῖε Ἀρχάγγελε.

www.tezaurliturgic.ro

Δαίμονας ἀπελαύνει, ἡ ἁγία σου θέα, καὶ σκότους δυνάμεις σκορπίζει, ῥομφαία Μιχαὴλ ἡ στεῤῥά σου. Συνάγει δὲ ἡμᾶς Θεῷ, ἡ θεία σου πυγμὴ Ἀρχάγγελε, καὶ πάντες στέργομεν τοῦ βοᾶν ἐκ πόθου ᾠδὴν τὴν χαριστήριον·

Ἀλληλούϊα.

Ἔμπροσθεν τοῦ Κυρίου, Μιχαὴλ ἐν ὑψίστοις παρίστασαι πληρότητι δόξης, καὶ τὰς ἐντεύξεις πάντων τῶν πιστῶν, ἐν παῤῥησίᾳ προσάγεις ὑπερβαλλούσῃ· ἡμῶν δὲ ἀκαταίσχυντον τὸν βίον ποίησον, ἵνα βοῶμεν σοι ταῦτα μετ' εὐμενείας·

Χαίροις Ἀγγέλων ὁ Ταξιάρχης· χαίροις Δεσπότου ὁ συνεργάτης.

Χαίροις τὰς βουλὰς Κυρίου ὁ τελῶν πανευπειθῶς· χαίροις τοὺς πιστοὺς ἐν πᾶσιν ὁ φρουρῶν πανασφαλῶς.

Χαίροις τῆς ἄνω τερπνότητος μέλος· χαίροις τῆς πλήρους λαμπρότητος κλέος.

www.tezaurliturgic.ro

Χαίροις ἡ μάστιγξ ἐχθρῶν τῆς μανίας· χαίροις ἡ σάλπιγξ Θεοῦ Βασιλείας.

Χαίροις ἔσοπτρον τὸ φαῖνον θάμβος τὸ ἐκστατικόν· χαίροις κάτοπτρον τὸ στίλβον κάλλος τὸ Βασιλικόν.

Χαίροις ὁ φύλαξ ἡμῶν ἐν ἀνάγκαις· χαίροις ὁ ῥύστης πικρίας ἐν ζάλαις.

Χαίροις θεῖε Ἀρχάγγελε.

Ζάλης τάραχον παύεις καὶ γαλήνην παρέχεις τοῖς πίστει Μιχαὴλ σε καλοῦσιν· Θεοῦ γὰρ τοῦ εἰρηνάρχου σὺ εἶ Ἀρχιστράτηγος καὶ οὐρανίου μέτοχος εὐφροσύνης, ἣν δαψιλῶς βραβεύεις τῇ ἐπιστασίᾳ σου, τοῖς πίστει ᾠδήν σοι προσάδουσιν εἰρηναίαν.

Ἀλληλούϊα.

Ἥλιος καὶ σελήνη, καὶ φωτὸς αἱ ἀκτῖνες, τῷ σῷ προσειδιάζουσι κάλλει, φωτόμορφε Θεοῦ παραστάτα.

www.tezaurliturgic.ro

Ἀγγέλων σὺ γὰρ ἐξάρχεις Μιχαὴλ πρωτάγγελε, ὡς κορυφαῖος καὶ μέγας αὐτῶν ὑπάρχων, ἡμῶν δὲ χοροστατεῖς ἐν ταῖς συνάξεσι, βοώντων σοι ἀκαταπαύστως ταῦτα·

Χαίροις φωτὸς ἀπροσίτου ὁ λύχνος· χαίροις πιστῶν ἐν ἀγῶσιν ὁ πύργος.

Χαίροις Θεοῦ τῆς δυνάμεως πάρεδρε· χαίροις ἐχθροῦ τῆς μανίας ἀντίπαλε.

Χαίροις σφραγὶς ἀγαθῆς πολιτείας· χαίροις βολὶς ἐμφανοῦς παρουσίας.

Χαίροις φάος ἀπροσίτου καὶ ἀκτίστου καλλονῆς· χαίροις δόξα τῆς ἰσχύος τῆς μεγάλης ἐπὶ γῆς.

Χαίροις πηγὴ τῶν πολλῶν δωρημάτων· χαίροις αὐγὴ ὑψηλῶν νοημάτων.

Χαίροις μέγιστε πρωτάγγελε χάριτος διανομεύς· χαίροις κράτιστε Ἀρχάγγελε τοῦ ἐλέους προνομεύς.

Χαίροις θεῖε Ἀρχάγγελε.

www.tezaurliturgic.ro

Θαυμαστῶς τοῖς ἐν κόσμῳ, Μιχαὴλ διανέμεις, τῆς σῆς ἐπιστασίας τὴν χάριν. Καὶ τῶν βελῶν τοῦ ἀρχεκάκου διασώζεις, τοὺς πίστει ἀδιστάκτῳ σοι προστρέχοντας, καὶ πόθῳ προσαγόντων ᾠδήν, τὴν τοῖς Ἀγγέλοις πρέπουσάν τε καὶ ἁρμοδίαν, συμψάλλοντές σοι ὁμοφώνως·

Ἀλληλούϊα.

Ἵλεων τὸν Δεσπότην καὶ Θεὸν ἀπεργάζου, εὐχαῖς σου Μιχαὴλ εὐπροσδέκτοις, ὡς τούτου θειότατος παραστάτης· πταισμάτων δὲ τὴν ἄφεσιν καὶ τοῦ ἐλέους δωρεάς, μὴ διαλίπης ἐξαιτούμενος Ἀρχάγγελε, ὑπὲρ τῶν πίστει σοι ὁλοκλήρῳ ἀναφωνούντων ταῦτα·

Χαίροις τὸ θεῖον καὶ ἄϋλον πνεῦμα· χαίροις ἁγίων τὸ ἅγιον στέμμα.

Χαίροις θείας διαθήκης ὁ ἀείφωτος λαμπτήρ· χαίροις νόμου καὶ πρὸ νόμου ὁ ἀμείωτος φωστήρ.

www.tezaurliturgic.ro

Χαίροις ὅτι πτέρυξί σου προστατεύεις τοὺς πιστούς· χαίροις ὅτι σῇ ἰσχύει φυγαδεύεις τοὺς ἐχθρούς.

Χαίροις τῆς ἀθανασίας ἡ ἀκράδαντος ταυτότης· χαίροις τῆς αἰωνιζούσης κληρουχίας βεβαιότης.

Χαίροις καλῶν ἀνεκφράστων δοχεῖον· χαίροις πολλῶν θησαυρῶν τὸ ταμεῖον.

Χαίροις Θεοῦ ἐν μοναῖς διατρίβων· χαίροις δαιμόνων ὁρμὰς ὁ συντρίβων.

Χαίροις θεῖε Ἀρχάγγελε.

Κρίσεως ἐν τῇ ὥρᾳ τῇ φρικτῇ Ταξιάρχα, παράστηθι ἡμῖν τοῖς σοῖς δούλοις, καὶ ἀγαθὴν ἀπολογίαν δοῦναι Μιχαὴλ ἀξίωσον, τοὺς πίστει προστρέχοντας τῇ σῇ σκέπῃ. Ἵνα καλῶς ἐκ τῆς μανίας τοῦ ἐχθροῦ διασωζόμενοι, Κυρίῳ τῷ Σωτῆρι καὶ Θεῷ, βοήσωμεν ᾠδὴν εὐχαριστίας.

Ἀλληλούϊα.

www.tezaurliturgic.ro

Λῦσον τὰς πανουργίας, καὶ ἐνέδρας καὶ δόλους, ἐχθροῦ τοῦ ἀρχεκάκου ἐν τάχει, χειρί σου Μιχαὴλ ἀοράτῳ. Καὶ ἐμφανῶς ἡμῖν τὴν σὴν ἀντίληψιν, καὶ τὴν πολλήν σου δεῖξον ἐπικουρίαν, ἵνα ἐκ πάντων τῶν δεινῶν καὶ περιστάσεων, ἐξέλθωμεν ἐν νίκαις στεφανηφόροι, πρὸς σὲ δὲ εἴπωμεν κατὰ χρέος·

Χαίροις ἀγώνων ὁ πρωτοστάτης· χαίροις τῆς νίκης ὁ παραστάτης.

Χαίροις σπουδῆς τῆς καλλίστης ὁ πρώταθλος· χαίροις σχολῆς οὐρανίου ὁ ἔξαρχος.

Χαίροις ὅτι μέσον πέλεις τοῦ Θεοῦ καὶ τῶν βροτῶν· χαίροις ὅτι πλήρως φέρεις τῆς ἀγάπης τὸν καρπόν.

Χαίροις ὁ διακονήσας τῇ τοῦ κόσμου σωτηρίᾳ· χαίροις ὁ διακοσμήσας τὴν οὐράνιον χορείαν.

Χαίροις Θεοῦ ὑπουργὲ μεγαλείων· χαίροις καλῶν αὐτουργὲ μυστηρίων.

www.tezaurliturgic.ro

Χαίροις Ἀγγέλων ὁ πρῶτος καὶ ἔνδοξος· χαίροις Ἁγίων ἁπάντων ὁ ἔπαινος.

Χαίροις θεῖε Ἀρχάγγελε.

Μάλα τὴν τῶν ἀνθρώπων ὁμαλίζεις πορείαν, πολλὰς εὐεργεσίας παρέχων, σοῖς δούλοις Μιχαὴλ Ταξιάρχα· καὶ γὰρ ἑνὸς ἑκάστου ἐξ ἡμῶν, φύλαξ παρὰ Κυρίου τοῦ Θεοῦ σου ἀπεστάλης, καὶ θεῖος ἀντιλήπτωρ, τῶν μελωδούντων ἐν συνέσει ὕμνον·

Ἀλληλούϊα.

Νεύσει σου πρὸς τὸ θεῖον, Μιχαὴλ Ταξιάρχα, διέμεινας πιστὸς σὺν Ἀγγέλοις, Κυρίου ταῖς ἀρχαῖς ὑπακούσας. Καὶ γὰρ αὐτοῖς τὸ «πρόσχωμεν» βοήσας, καὶ τὸ «στῶμεν μετὰ φόβου», ἐκράτησας καλῶν ἐν τῇ στάσει, τὰ τάγματα δυνάμεων θείων, μεθ' ὧν βοῶμεν σοι ἐν εὐμενείᾳ ταῦτα·

www.tezaurliturgic.ro

Χαίροις πρωτάγγελε τοῦ Δεσπότου· χαίροις ὑπήκοε Νομοδότου.

Χαίροις ὁ διακονήσας θαυμασίοις ἱεροῖς· χαίροις ὁ καθυπουργήσας μυστηρίοις φοβεροῖς.

Χαίροις ὅτι φανεροῦσαι παραδόξως μεθ' ἡμῶν· χαίροις ὅτι προεξάρχεις οὐρανίων στρατιῶν.

Χαίροις φωτὸς τὴν ὁδὸν ὁμαλίζων· χαίροις τοῦ σκότους ἀρχὰς φενακίζων.

Χαίροις Βασιλέως ἄρχων, Τούτου πράττων διατάξεις· χαίροις τοῦ Δεσπότου δοῦλε, ὁ φυλάττων τὰς προστάξεις.

Χαίροις ἡ θεία καὶ πλήρης χρηστότης· χαίροις βεβαία καλῶν ἀγαθότης.

Χαίροις θεῖε Ἀρχάγγελε.

www.tezaurliturgic.ro

Ξίφος κατὰ δαιμόνων, τὸ ὀξύτομον πέλει, ἡ θεία σου μορφὴ Ταξιάρχα· καὶ τὸ ξένον ταύτης καὶ ἐξαίσιον θέαμα, ξενίζει παραδόξως τοὺς σὲ ὁρῶντας Μιχαὴλ ἑκάστοτε, καὶ καταπλήττει πάντας τοὺς ἐγγίζοντάς σοι ἐν αἰνέσει καὶ βοῶντας·

Ἀλληλούϊα.

Ὄναρ τε καὶ καθ' ὕπνον, ἐν νυκτὶ καὶ ἡμέρᾳ, πλειστάκις Μιχαὴλ Ταξιάρχα, ἐφάνης τοῖς πιστοῖς παραδόξως, κελεύσμασι Θεοῦ ὑπακούων. Καλῶς τὴν σὴν οὖν παρουσίαν, ἐν παντὶ καιρῷ δηλοποιῶν καὶ τόπῳ, ἀκούεις παρ' ἡμῶν ἀεὶ πρεπόντως, ταῦτα πάντα·

Χαίροις Ἁγίων Ἀγγέλων πρωτάρχα· χαίροις χορῶν οὐρανοῦ ταξιάρχα.

Χαίροις τῆς γεώδους ὕλης μένων Ἄγγελε μακράν· χαίροις ὁ ἡμῖν μακρύνων γεῦσιν ξύλου τὴν πικράν.

www.tezaurliturgic.ro

Χαίροις ὁ τὴν ἀθυμίαν εἰς χαρὰν μετασκευάζων· χαίροις ὁ τῆς ἀφροσύνης τὴν κατήφειαν σκεδάζων.

Χαίροις θείου Παραδείσου ὁ ἐξομαλίζων δρόμον· χαίροις τῶν Μονῶν τῶν ἄνω ὁ λαμπρύνων θεῖον δόμον.

Χαίροις ὅτι κατευφραίνεις τὰς καρδίας τῶν πιστῶν· χαίροις ὅτι ἐνθαρρύνεις τὰς ψυχὰς τῶν εὐσεβῶν.

Χαίροις τὸ Πνεῦμα Θεοῦ ἀληθείας· χαίροις τὸ ῥεῦμα ἀγάπης γνησίας.

Χαίροις θεῖε Ἀρχάγγελε.

Πτέρυξί σου ἁγίαις, Μιχαὴλ Ταξιάρχα, ἀνθρώπων περισκέπεις τὸ γένος· καὶ διασώζεις ἐκ μανίας τοῦ ἐχθροῦ τοῦ βροτοκτόνου ἅπαντας, τοὺς πίστει τιμῶντας ἀπλέτῳ τὴν σὴν μνήμην, καὶ ἑορτίοις ᾄσμασιν ἐγκωμιάζοντας τὰ θαύματά σου τὰ παράδοξα, συμφώνως τε ᾠδὴν βοῶντας παρακλήσεως·

Ἀλληλούϊα.

www.tezaurliturgic.ro

Ράβδος καὶ βακτηρία, ἡ ῥομφαία σου πέλει, ἡμᾶς ἐν ἀσφαλείᾳ μετάγων, εἰς χώραν ἀγαθὴν καὶ ἁγίαν, ἣν ὁ Θεὸς τῶν ὅλων ἐπηγγείλατο, τοῖς φίλοις Αὐτοῦ καὶ τοῖς γνησίοις δούλοις. Αὐτῆς οὖν Μιχαὴλ Ἀρχάγγελε, ἡμῖν παράσχου τὴν προστασίαν, ἵνα καλῶς τὴν τρίβον τὴν στενὴν καὶ τεθλιμμένην διαβαίνοντες, βοῶμεν σοι, ἐν εὐφροσύνῃ ταῦτα.

Χαίροις ἀξίας χρηστῆς γνησιότης· χαίροις κακίστης ἀπάτης διώκτης.

Χαίροις φωτὸς ἐν σκηνώμασι μένων· χαίροις πιστῶν τὰς ψυχὰς εἰρηνεύων.

Χαίροις ὅτι ἀπεστάλης οὐρανόθεν πρὸς ἡμᾶς· χαίροις ὅτι τῷ Θεῷ προσάγεις τὰς ἡμῶν οἰκτρὰς φωνάς.

Χαίροις τῆς χοροστασίας τῆς ἀΰλου ὁ ἐξάρχων· χαίροις θείας πανδαισίας τῆς ἐν τοῖς ὑψίστοις ἄρχων.

Χαίροις τῷ ἑνὶ Δεσπότῃ ὁ τοὺς δούλους ἐπανάγων· χαίροις Βασιλεῖ τῶν ὅλων ὁ στρατὸν ἐπισυνάγων.

www.tezaurliturgic.ro

Χαίροις τῆς ἐχθροῦ μανίας ὁ πυρφόρος μαχητής· χαίροις τοῦ λαοῦ καὶ κλήρου ὁ θερμὸς προασπιστής.

Χαίροις θεῖε Ἀρχάγγελε.

Στῶμεν μετὰ φόβου ἔφης, τοῖς Ἀγγέλοις ἀπ' ἀρχῆς, πρόσχωμεν καλῶς καὶ στῶμεν τῷ Θεῷ μετὰ πειθοῦς, ἵνα μὴ σὺν Ἑωσφόρῳ εὑρεθῶμεν εἰς κρημνόν, ἀπωλείας τε εἰς χάος καὶ εἰς σκότος τὸ βαθύ. Οὕτω σὺν χοροῖς Ἀγγέλων, ἐκβοῶμεν Μιχαὴλ καὶ ἡμεῖς σοι εὐαρέστως νικητήριον ᾠδήν·

Ἀλληλούϊα.

Τίθησι φύλακά σε ὁ Θεὸς τοῖς ἀνθρώποις, καλὸν καὶ ἀγαθὸν ἐν τῷ βίῳ, τοῦ μὴ ἡμᾶς προσκόπτειν ἐν τοῖς διαβήμασιν, ἀλλὰ βαδίζειν τὴν ὀρθὴν ὁδὸν εὐθέτως, τήν ἄγουσαν ζωὴν πρὸς τὴν αἰώνιον. Ταύτης οὖν Μιχαὴλ Ἀρχάγγελε, τὰς διαβάσεις καὶ ἡμεῖς ἀνύοντες, βοῶμεν σοι προθύμως ταῦτα·

www.tezaurliturgic.ro

Χαίροις ὁ στέφων χοροὺς ἁγίων· χαίροις ὁ ἄρχων τῶν οὐρανίων.

Χαίροις ὅτι τῇ χειρί σου ὁδηγεῖς τοὺς ἐν τῇ πλάνῃ· χαίροις ὅτι τοῖς ποσί σου συμπατεῖς ἐχθροῦ πλεκτάνην.

Χαίροις θείας ὁμιλίας ὁ ἀντίλαλος ἐν γῇ· χαίροις θείας εὐδοκίας ὑπηρέτης ὁ ταχύς.

Χαίροις καλῆς τῆς ἀγγελίας λόγος ὁ χαροποιῶν· χαίροις Θεοῦ τῆς εὐδοκίας ὅρμος ὁ γαληνιῶν.

Χαίροις ταπεινῶν δεήσεις τῷ Κυρίῳ ὁ ὑψῶν· χαίροις τοῦ ἐχθροῦ ἐπάρσεις σῇ δυνάμει ταπεινῶν.

Χαίροις ὁ φίλος Θεοῦ ἐν πιστώσει· χαίροις τὸ φίλτρον ἀγάπης ἐν γνώσει.

Χαίροις θεῖε Ἀρχάγγελε.

www.tezaurliturgic.ro

Ὑπερθεν ἐποπτάνει, Μιχαὴλ Ταξιάρχα, ἡμῶν τὴν ἐν τῇ γῇ πολιτείαν. Καὶ συμπαθῶς ἡμῖν παρίστασαι ἐν περιστάσεσι ποικίλαις, τὸ δυσαχθὲς κουφίζων βάρος τῶν ἀνομιῶν καὶ τὰ συντρίμματα τῶν καρδιῶν ἡμῶν ἐν ἀγαθοῖς μεταποιῶν, τῷ δὲ Θεῷ ἡμᾶς ἐν οἰκειότητι ἐπισυνάγων, πρὸς ὃν βοῶμεν μετὰ πίστεως, ᾠδὴν ἁγίοις τὴν προσήκουσαν.

Ἀλληλούϊα.

Φάλαγξ ἡ τῶν δαιμόνων ἐτροπώθη εἰς τέλος, ἰσχύϊ Μιχαὴλ τῆς ῥοπῆς σου· καὶ τὸ θράσος τούτων εἰς τὴν γῆν κατέπεσεν, τῷ φόβῳ τῆς θείας σου ἐμφανείας. Καὶ γὰρ ὅπου ἐπισκιάσει ἡ χάρις σου Ἀρχάγγελε, τοῦ σκότους φεύγουσιν αἱ δυνάμεις, πιστῶν τε ἐν φωτὶ πληροῦται ἡ διάνοια, εἰς τὸ βοᾶν σοι πρεπόντως ταῦτα.

Χαίροις τῶν ἄνω ἡ εὐκοσμία· χαίροις τῶν κάτω ἡ προστασία.

www.tezaurliturgic.ro

Χαίροις τῆς θείας τερπνότητος μέτοχε· χαίροις ἀφράστου λαμπρότητος πάρεδρε.

Χαίροις τῶν καλῶν πνευμάτων ὁ προάρχων μετὰ δόξης· χαίροις τῶν πιστῶν ἀνθρώπων ὁ βραβεύων ἐπιδόσεις.

Χαίροις τὸν λειμῶνα τῆς ἁγνείας ὁ φαιδρύνων· χαίροις τὸν χειμῶνα τῆς κακίας ὁ μακρύνων.

Χαίροις τῶν ἐν ταῖς ἀνάγκαις βοηθὸς ὁ στοργικός· χαίροις τῶν ἐν ζάλαις οὖσι πρόθυμος χειραγωγός.

Χαίροις ὑλώδους δεσμοῦ ὑπερόπτης· χαίροις τοῦ κάλλους Θεοῦ ὁ ἐπόπτης.

Χαίροις θεῖε Ἀρχάγγελε.

Χάριτος ἀντιδόσεις, Μιχαὴλ Ταξιάρχα, Θεοῦ τοῖς ὑπηκόοις παρέχεις. Καὶ γὰρ εἰς τοῦτο ἵστασαι, τοῦ

www.tezaurliturgic.ro

οὐρανοῦ ἐν μέσῳ καὶ τῶν ἀνθρώπων, ἵνα ἡμεῖς σε ἔχομεν ἐν εὐμενείᾳ εὐήκοον παραστάτην, προσάγων τῷ παμβασιλεῖ ἐν τάχει ὦ Ἀρχάγγελε, αἰτήσεις πάντων καὶ ἱκεσίας, ὁμοῦ τε καὶ φωνὰς αἰνέσεως ἐν Ἐκκλησίᾳ ὁσίων, βοώντων συμφώνως·

Ἀλληλούϊα.

Ψαύων τὴν τοῦ Κυρίου ἀγαθότητα ἄκραν, γινώσκεις Μιχαὴλ Ταξιάρχα, τὴν Τούτου πρὸς ἡμᾶς εὐστοργίαν. Ὅτι Θεὸς ὢν, τὴν σάρκα τῶν βροτῶν ἐφόρεσεν ἑκουσίως, ἵνα θελήσει θέλων τοὺς βροτοὺς εἰς ὕψος θεώσεως ἐπανάγῃ, καὶ πάλιν παραστήσῃ τῆς Ἐδὲμ οἰκήτορας. Διὸ ἐκ σοῦ, τὴν γνῶσιν ταύτην μεμαθηκότες, βοῶμεν σοι ἀεὶ ἐν πίστει.

Χαίροις πνευμάτων ἀΰλων ἀρχή· χαίροις ταγμάτων ἁγίων στολή.

Χαίροις θείας ἐξουσίας βουλευτὴς ὁ ἰσχυρός· χαίροις θρόνου οὐρανίου πρεσβευτὴς ὁ ἱκανός.

www.tezaurliturgic.ro

Χαίροις ἡ δόξα τῶν θείων Ἀγγέλων· χαίροις τὸ κλέος σεπτῶν Ἀρχαγγέλων.

Χαίροις θέσφατα οὐράνια ἑρμηνεύων νοητῶς· χαίροις δόγματα τὰ ἅγια μυστικῶς ὁ συγκρατῶν.

Χαίροις ἄρχων καὶ πρωτόθρονε τῶν Ἀγγελικῶν χορῶν· χαίροις μέγιστε Ταξίαρχε τῶν Βασιλικῶν αὐλῶν.

Χαίροις τῆς λειτουργίας τῆς ἐμψύχου ὁ ἐμπρέπων· χαίροις τῆς λιτανείας τῆς ἀΰλου ὁ ἐξέχων.

Χαίροις θεῖε Ἀρχάγγελε.

θ΄ Ὦ Ἀρχάγγελε θεῖε, Μιχαὴλ Ταξιάρχα, Θεοῦ πρὸς τοὺς ἐν γῇ μαρτυρία (ἐκ γ΄)*, τὰ διαβήματα ἡμῶν ἐν ἀγαθοῖς ἀσφάλισον, ἵνα τοῦ βίου τὴν ὁδὸν καλῶς τελέσαντες, εἰς τέλος φθάσωμεν τὸ τῆς νίκης. Καλὴν ἀπολογίαν δοῦναι τε ἡμᾶς ἀξίωσον, ἐν ὥρᾳ κρίσεως τῆς ἐσχάτης, Θεῷ βοῶντες τῷ Δικαιοκρίτῃ τὴν ᾠδήν, Ἀγγέλοις τὴν ὁμόφωνον.

Ἀλληλούϊα.

*Ἅγιε Ἀρχάγγελε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

www.tezaurliturgic.ro

Καὶ πάλιν. Τὸ Κοντάκιον.
Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῷ τῆς Τριάδος Μιχαὴλ φωτὶ ἱστάμενος, καὶ τὰς δυνάμεις τοῦ ἐχθροῦ τοῦ κοσμοκράτορος, τῇ λαμπρότητι τῆς δόξης σου φυγαδεύων. Τοὺς προστρέχοντας τῇ σκέπῃ τῶν πτερύγων σου, διαφύλαττε καὶ φρούρει τῇ δυνάμει σου· ἵνα κράζωμεν· χαίροις θεῖε Ἀρχάγγελε.

